οὐκ ἀναγκαῖον, οὔτ', εἴ τι ψυχρόν, εὐθὺς τοῦτο καὶ ὑγρὸν
514 ὑπάρχειν, οὔτ', εἴ τι θερμόν, εὐθὺς καὶ ξηρόν. οὔκουν | οὐδὲ τὴν θερμὴν κρᾶσιν ἐξ ἀνάγκης εἶναι καὶ ξηράν, ἀλλὰ δύνασθαί ποτε τὸ μὲν θερμὸν τοῦ ψυχροῦ πλεονεκτεῖν ἐν τῇ κράσει τοῦ ζῴου, τὸ δ' ὑγρὸν τοῦ ξηροῦ. καὶ γὰρ δὴ καὶ τὴν γένεσιν καὶ τὴν ἀλλοίωσιν καὶ τὴν μεταβολὴν ἐκ τῶν ἐναντίων εἰς τὰ ἐναντία γίγνεσθαι. τίς γοῦν εἰπών, ὅτι τὸ λευκὸν ἠλλοιώθη τε καὶ μετέβαλεν, ἐγένετο γὰρ θερμόν, οὐκ ἂν εἴη καταγέλαστος; ἐπιζητεῖ γὰρ ὁ λόγος οὐ τὴν κατὰ τὸ θερμὸν καὶ τὸ ψυχρὸν ἀντίθεσιν, ἀλλὰ τὴν κατὰ τὸ χρῶμα· μεταβάλλει γὰρ τὸ μὲν λευκὸν εἰς τὸ μέλαν, ὥσπερ γε καὶ τὸ μέλαν εἰς τὸ λευκόν, τὸ δὲ θερμὸν εἰς τὸ ψυχρόν, ὥσπερ αὖ καὶ τὸ ψυχρὸν εἰς τὸ θερμόν· οὕτω δὲ καὶ τὸ μὲν ὑγρὸν εἰς τὸ ξηρόν, τὸ δ' αὖ ξηρὸν εἰς τὸ ὑγρόν. εἰ γὰρ δὴ φάσκοι τις ἠλλοιῶσθαι τὸ σῶμα τῷ τέως ὑγρὸν ὑπάρχον εἶναι τανῦν λευκὸν ἢ τῷ τέως ξηρὸν ὂν τανῦν φαίνεσθαι μέλαν, οὐκ ἂν ὑγιαίνειν δόξειεν. εἰ δέ γε τὸ τέως ὑγρὸν νῦν ξηρὸν φαίη γεγονέναι ἢ τὸ πρότερον ὑπάρχον
515 μέλαν νῦν εἶναι λευκὸν ἢ | ἐκ θερμοῦ ψυχρὸν ἢ ἐκ ψυχροῦ θερμὸν γεγονέναι, σωφρονεῖν τ' ἂν δόξειεν ὁ τοιοῦτος καὶ λέγειν τὰ εἰκότα. τὸ γὰρ μεταβάλλον, ᾗ μεταβάλλει, ταύτῃ μεταχωρεῖν δεῖ πρὸς τοὐναντίον. ἐγένετο γοῦν ἢ γίγνεται μουσικὸς ὅδε, φαμέν, ἐξ οὐ μουσικοῦ δηλονότι, καὶ γραμματικὸς ἐξ οὐ γραμματικοῦ καὶ ῥητορικὸς ἐξ οὐ ῥητορικοῦ· τὸ δ' ἐκ μουσικοῦ γραμματικὸν ἢ ἐκ γραμματικοῦ μουσικὸν ἢ ἐξ ἄλλου τινὸς τῶν ἑτερογενῶν γίγνεσθαί τι λέγειν ἄτοπον.

---

2 οὐκ οὖν L οὐκοῦν MV ‖ 3 καὶ om. M ‖ 10 τὸ θερμὸν κ. τὸ ψ. L τὸ θ. ἢ τ. ψ. M τὸ θ. ἢ ψ. V τὸ θ. κ. ψ. O ‖ 11 post χρῶμα add. μεταβολὴν O μεταβολὴν γενέσθαι V om. LM ‖ γὰρ] γέ τοι L δέ τοι V ‖ 12 γε MOV om. L ‖ τὸ δὲ θ. LMV καὶ τὸ θ. αὖ O ‖ 13 αὖ LV γε M om. O ‖ 14 αὖ om. MV ‖ 15 φάσκοι LM φάσκει OV ‖ τῷ O[2] τὸ LO[1] τὸ τ. γὰρ MV ‖ 16 εἶναι om. M ‖ τανῦν L νῦν cett. ‖ ἢ τῷ A ἢ τὸ codd. ‖ ὂν om. M ‖ τανῦν O εἶτα νῦν LV νῦν M ‖ 17 μέλαν φαίν. LM ‖ 18 ξηρὸν νῦν ὑγρὸν L ‖ γεγονέναι LM γενέσθαι O ‖ 20 γεγονέναι om. L ‖ τ' LMV om. O ‖ 21 τὰ om. LO ‖ 22 post γοῦν add. τις L ‖ 23 ὅδε] ὃ δὴ L ‖ 26 γενέσθαι M ‖ τι om. L